p. 8 μολξιν τὸν Θρᾷκα καὶ Ἀνάχαρ|σιν τὸν Σκύθην ἐπὶ σοφίᾳ
θαυμάζετε, καὶ τῶν Βραχμάνων πολὺ παρ' ὑμῖν τὸ κλέος·
26 Ἰνδοὶ δὲ οὗτοι, οὐχ Ἕλληνες. ἔπειτα δὲ καὶ ἑτέρωθεν ἐξ-
ελέγχεσθε οὐκ ὀρθῶς προτιθέντες τῆς ἀληθείας τὴν εὐέπειαν.
τὸν γάρ τοι Σωφρονίσκου Σωκράτην ὁμολογεῖτε δήπου καὶ
ὑμεῖς τῶν Ἑλληνικῶν φιλοσόφων ἄριστον γεγενῆσθαι· ἀλλ'
οὗτος ἐκ λιθοκόπου μὲν ἔφυ πατρός, ἐπὶ πλεῖστον δὲ τὴν
27 πατρῴαν μετελήλυθε τέχνην. καὶ τοῦτο πολλοὶ μὲν εἰρή-
κασι καὶ ἄλλοι, καὶ ὁ Πορφύριος δὲ ἐν τῷ τρίτῳ τῆς
Φιλοσόφου αὐτοῦ ἱστορίας ξυνέγραψεν· ἔφη δὲ οὕτως·
„λέγωμεν περὶ τοῦ Σωκράτους τὰ καὶ παρὰ τοῖς ἄλλοις μνή-
μης κατηξιωμένα, τὰ μὲν πρὸς ἔπαινον αὐτοῦ καὶ ψόγον
πολλαχῶς ὑπὸ τῶν λογίων ἀνδρῶν μεμυθευμένα ἐπ' ὀλίγον
φυλοκρινοῦντες, καταλιπόντες δὲ ἀνεξέταστον τὸ εἴτε αὐτὸς
εἰργάσατο ξὺν τῷ πατρὶ τὴν λιθοκοπικὴν τέχνην, εἴτε ὁ
πατὴρ αὐτοῦ μόνος. οὐδὲν γὰρ ἐνέκοπτεν αὐτῷ τοῦτο πρὸς
σοφίαν πρὸς ὀλίγον χρόνον ἐργασθέν. εἰ δὲ δὴ ἑρμογλύφος
ἦν, καὶ μᾶλλον· καθάριος γὰρ ἡ τέχνη καὶ οὐ πρὸς ὀνεί-
28 δους.“ καὶ τὰ ἑξῆς δὲ τῆς αὐτῆς ἔχεται διανοίας· εἰσάγει
γάρ τινας λέγοντας λιθουργικῇ τέχνῃ τὸν Σωκράτην χρη-
σάμενον. ἀλλ' ἴσως τὴν μὲν πρώτην ἡλικίαν λιθουργῶν
διετέλεσεν, ὕστερον δέ, λόγων ποιητικῶν καὶ ῥητορικῶν ἐρα-
29 σθείς, παιδείας μετέλαχεν. ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν·
πᾶν γὰρ τοὐναντίον εἶπεν ὁ Πορφύριος. λέγει δὲ οὕτως·
„εἶναι δὲ αὐτὸν πρὸς οὐδὲν μὲν ἀφυῆ, ἀπαίδευτον δὲ περὶ